Ακαδημία Αθηνών / Academy of Athens

*ε ἰ π ε ῖ ν καὶ ἀεὶ λ έ γ ε ι ν* Δημόκριτος 30 *πάντα ⟨ε ἶ π α ν⟩ Ζεὺς μυθέεται.*

**λειμών.** Λειμώνας/λιβάδι, meadow, Ἐμπεδοκλῆς 66 *σχιστοὺς λ ε ι μ ῶ ν α ς ...* Ἀφροδίτης 121.4 *Ἄτης ἀν λ ε ι μ ῶ ν α.*

**λείπεσθαι.** Ὑπολείπομαι/ἀπομένω, be left/remain, Παρμενίδης 8.2 *μόνος δ' ἔτι μῦθος ὁδοῖο λ ε ί π ε τ α ι ὡς ἔστιν* Δημόκριτος 228 *τὸ γὰρ ἴχνιον μοῦνον λ έ λ ε ι π τ α ι τῶν ποδῶν.*

**λελιημένος.** Βλ. **λιλαίεσθαι.**

**λεπίς.** Λέπι, scale, Ἐμπεδοκλῆς 82.2 *ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνὰ καὶ λ ε π ί δ ε ς γίγνονται ἐπὶ στιβαροῖσι μέλεσσιν.*

**λεπτὸς 1** (ἀντίθ. *πυκνός*). Λεπτὸς/λεπτοφυής, fine/thin, Ἀναξαγόρας Α 92 (DK II 28,21) καὶ γὰρ τὴν ὀσμὴν ... σχεδὸν δὲ ὡς εἰπεῖν οὐκ αἰσθάνεσθαι τὰ μὲν μεγάλα (sc. ζῷα) τῆς λ ε π τ ῆ ς ἀέρος, τὰ δὲ μικρὰ τῆς πυκνῆς. ||(ἀντίθ. *παχύς*). Διογένης 6.50 *τὸ δ' αἷμα τὸ μὲν παχύτατον ὑπὸ τῶν σαρκωδῶν ἐκπίνεται· ὑπερβάλλον δὲ εἰς τοὺς τόπους τούτους λ ε π τ ὸ ν καὶ θερμὸν καὶ ἀφρῶδες γίνεται* **2.** λεπτοφυὴς/λεπτοΰφαντος, finely composed/finely woven, Ἐμπεδοκλῆς 84.8 *ὣς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ, λ ε π τ ῇ σ ι ν ⟨τ'⟩ ὀθόνῃσι λοχάζετο κύκλοπα κούρην, ⟨αἳ⟩ χοάνῃσι δίαντα τετρήατο θεσπεσίῃσιν* **3** (συνών. *στεινός, στεινωπός*, ἀντίθ. *πλατύς, εὐρύς*). Στενός, narrow/tight, Διογένης 6.13-15-26-41-45 *σχίζεται δ' αὐτῶν ἄκρα ἑκατέρα, ἡ μὲν ἐπὶ τὸν μέγαν δάκτυλον, ἡ δ' ἐπὶ τὸν ταρσόν, ἀπὸ δὲ τούτων λ ε π τ α ὶ καὶ πολύοζοι ἐπὶ τὴν ἄλλην χεῖρα καὶ δακτύλους. ἕτεραι δὲ λ ε π τ ό τ ε ρ α ι ἀπὸ τῶν πρώτων φλεβῶν τείνουσιν... σχίζονται δὲ καὶ ἐπὶ τὴν κοιλίαν καὶ τὸ πλευρὸν πολλαὶ ἀπ' αὐτῶν καὶ λ ε π τ α ὶ φλέβες ... ἕτεραι δ' εἰσὶν αἱ ἀπὸ ἑκατέρας τείνουσαι διὰ τοῦ νωτιαίου μυελοῦ εἰς τοὺς ὄρχεις λ ε π τ α ί ... (αἱ δὲ φλέβες αἱ μὲν πρῶται ἐκ τῆς κοιλίας εὐρύτεραί εἰσιν, ἔπειτα λ ε π τ ό τ ε ρ α ι γίγνονται, ἕως ἂν μεταβάλλωσιν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ καὶ ἐκ τούτων εἰς τὰ δεξιά)* **4** (συνών. *ἀκριβής*). Λεπτὸς/ἀκριβής, fine/accurate Ἀναξαγόρας 12.9 *ἔστι γὰρ (sc. νοῦς) λεπτότατόν τε πάντων χρη-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ